Κἀγὼ, ὅτε δὴ 'γνων, τοῖς βολίτοις ἡττημένος,
Διηκοσίοισι βουσὶν ὑπερηκόντισα.
Τῇ δ' Ἀγροτέρᾳ κατὰ χιλίων παρήνεσα,
Εὐχὴν ποιήσασθαι χιμάρων ἐσαύριον,
Αἱ τριχίδες εἰ γένοιαθ' ἑκατὸν τοῦ βολοῦ.
Ἐκαραδόκησεν εἰς ἔμ' ἡ βουλὴ πάλιν.
Ὁ δὲ ταῦτ' ἀκούσας, ἐκπλαγεὶς ἐφλυνάφα.
Κᾆθ' εἷλκον αὐτὸν οἱ Πρυτάνεις χοἰ τοξόται.
Οἱ δ' ἐθορύβουν περὶ τῆς ἀφύων, ἑστηκότες,
Ὁ δ' ἀντιβόλει γ' αὐτοὺς, ὀλίγον μεῖναι χρόνον,
Ἵν' ἅτθ' ὁ κῆρυξ οὐκ Λακεδαίμονος λέγει,
Πύθησθ'. ἀφῖκται γὰρ περὶ σπονδῶν λέγων.
Οἱ δ' ἐξ ἑνὸς στόματος, ἅπαντες ἀνέκραγον,
Νυνὶ περὶ σπονδῶν; ἐπειδή γ' ὦ μέλε
Ἤσθοντο τὰς ἀφύας παρ' ἡμῖν ἀξίας;
Οὐ δεόμεθα σπονδῶν, ὁ πόλεμος ἑρπέτω.
Ἐκεκράγεσάν τε τοὺς Πρυτάνεις ἀπιέναι,
Εἶθ' ὑπερεπήδων τοὺς δρυφάκτους πανταχοῦ.
Ἐγὼ δὲ τὰ κορίανν' ἐπριάμην ὑποδραμὼν,
Ἅπαντα, τά τε γήτει', ὅσ' ἦν ἐν τῇ ἀγορᾷ.
Ἔπειτα ταῖς ἀφύαις ἐδίδουν ἡδύσματα,
Ἀποροῦσιν αὐτοῖς προῖκα κἀχαριζόμην.
Οἱ δ' ὑπερεπῄνουν ὑπερεπόππαζόν τέ με.
Ἅπαντες οὕτως, ὥστε τὴν βουλὴν ὅλην
Ὀβολοῦ κοριάννοις ἀναλαβὼν ἐλήλυθα.

*Cùm me viderem bubulo victum stercore,*
*Ducentis bobus superaui centum boues.*
*Dianæ item præcepi mille circiter*
*Capellas, in diem vouêre crastinum.*
*Si centum Trichides vno obolo veneant.*
*Hîc iterum ad me senatus reflexit oculos.*
*Ille his auditis, toto externatus animo*
*Nugas capit agere. Ac pòst vrbis præsides,*
*Et cum his lorarij protraxerunt eum:*
*Et circum apuas tumultuabantur, propè*
*Stantes: tum Paphlago orabat, vt pauxilluli*
*Moram temporis ibi facerent: vt quid rei*
*Præco Lacedæmone afferat, cognoscerent.*
*Nam pacis firmandæ caussa hùc aduenerat.*
*Illi omnes vno ore reclamabant: iámne de*
*Fœderibus? de pace, homo miser? quando audiunt*
*Hostes: quòd apuæ apud nos vilis sunt pretij.*
*Non indigemus fœdere: bellum serpito.*
*Mox ipsos præsides iussère abscedere,*
*Ipsi omnes cancellos transilière vndique.*
*Ego verò emebam coriandrum, circa omnia*
*Loca cursitans, & allia quæcunque in foro:*
*Atque apuis sua condimenta insuper dabam,*
*Et gratus gratificabar indigentibus.*
*Illi me summis efferebant laudibus,*
*Verbísque demulcebant quàm blandissimis,*
*Omnes adeò, vt totum senatum mihi, oboli*
*Vnius coriandris nunc conciliauerim.*

Σχόλια. Τοῖς βολίτοις ἡττημένος.] ταῖς τῶν βοῶν ἐπαγγελίαις ὅτε ἔγνων ἡττηθείς. βολίτοις δὲ τοῖς ἀπελέθοις. βόλιτοι γὰρ οἱ ἀπέλεθοι τῶν βοῶν. ἄλλως. τοῖς βοϊδίοις. ἡ τοῦ βοὸς κοιλία, βόλιτον ἔχει. λέγει δὲ φαύλοις ἤθεσιν, ἐν αὐτοῖς ἡττώμενος. Ἀττικοὶ δὲ οὕτω λέγουσι χωρεὶς τοῦ β, ὅπερ ἡμεῖς βόλβιτον λέγομεν. βολίτοις δὲ ὅτι περὶ βοῶν ὁ λόγος. καὶ παροιμία βολίτου δίκην, πρὸς τοὺς ἐπὶ μικροῖς δίκας ὑπέχοντας. ὁ γὰρ Σόλωνος νόμος καὶ τοὺς βόλιτον ὑφελομένους κολάζει. ὑπερηκόντισα δὲ ἐνίκησα ἐκ μεταφορᾶς τῶν τοῖς ἀκοντίοις νικώντων. Τῇ δ' Ἀγροτέρᾳ.] τῇ Ἀρτέμιδι. ἰδίως γὰρ οἱ Ἀθηναῖοι σέβουσι καὶ τιμῶσι τὴν Ἀγροτέραν Ἄρτεμιν ἄλλως. ἐξ ἱστορίας Καλλίμαχος ὁ Πολέμαρχος, λέγεται εὔξασθαι τῇ Ἀρτέμιδι, τοσαύτας βοῦς θῦσαι, ὅσους ἂν φονεύσῃ βαρβάρους ἐν Μαραθῶνι. ἐπειδὴ δὲ πολλοὶ ἐφονεύθησαν, μὴ δυνάμενος τοσαύτας βοῦς θῦσαι, ἔθυσε χιμαίρας. παρήνεσα δὲ, συνεβούλευσα, εἰσηγησάμην Ἀθηναίοις. Αἱ τριχίδες.] εἶδος ἰχθύων, ἃς θρίσσας καλοῦμεν. καὶ ἀλλαχοῦ. ἔβυτλε τὴν νύχθ' ὅλην τριχίδων πεπλησμένος. Ἐκαραδόκησεν.] ἀντὶ τοῦ ἀπέβλεψεν. ἢ ἐμοὶ προσέθεντο τὴν κεφαλὴν μετεωρίσαντες. παρὰ τὸ ὁμηρικὸν καὶ τὸ ὡραίωνα δοκεύει. ἐφλυνάφα δὲ, ἐφλυάρει. ἐξ υτέλιζε. Κᾆθ' εἷλκον αὐτόν.] εἶτα εἷλκον αὐτὸν, καὶ ἐξώθουν τῆς βουλῆς. Οἱ Πρυτάνεις.] οἱ προεστῶτες τῆς συνήσεως. οἱ τοῦ δήμου ἄρχοντες ὑπηρέται. Ἵν' ἅτθ' ὁ κῆρυξ.] ταῦτα εἰς τὴν ἀπάτην τοῦ Κλέωνος τὴν εἰς τὸν δῆμον. ἐξ ἱστορίας δὲ τοῦτο. Λακεδαιμονίους γὰρ περὶ εἰρήνης πρεσβευομένους, οὐκ ἐδέξαντο Κλέωνος κωλύσαντος. Ἐξ ἑνὸς στόματος.] ὁμοθυμαδὸν καὶ μιᾷ φωνῇ. Ὦ μέλε.] πρόσφθεγμα Ἀττικὸν, ἀντὶ τοῦ ὦ κάκιστε. ἢ κακοδαιμονέστατε. ἢ οἰκτρότατε. παρέλκει δὲ τὸ ὦ μέλε. ἀξίας δὲ, εὐώνους. Ὁ πόλεμος ἑρπέτω.] γράφεται καὶ ἐρρέτω. τουτέστι χαιρέτω. ὅ ἐστιν οὐδεμίαν φροντίδα τοῦ πολέμου ποιοῦμεν. Ὑπερεπήδων.] καὶ εὐθὺς ὑπερήλλοντο καὶ ὑπερεπήδων. τουτέστι δρομαῖοι ὑπήγοντο. διὰ δὲ τῆς σπουδῆς τὴν λιχνείαν ἐνδείκνυσιν αὐτῶν. Τοὺς δρυφάκτους.] τὰ νῦν ταυλώματα καλούμενα. τὰ τῶν οἰκοδομημάτων ἐξέχοντα ξύλα. ἢ τὰ κάγκελα. δρυόφακτός τις ὤν. οἱ γὰρ ἀρχαῖοι πᾶν δένδρον δρῦν ἐκάλουν. ὥσπερ καὶ ἀκρόδρυα τὰ ἄκρα τῶν δένδρων. τουτέστιν ὁ ἐκ δρυῶν φραγμός.

Bisetvs. Τὰ κορίαννα] κορίαννον, εἶδος βοτάνης τὸ νῦν κολίανδρον.

Σχόλια. Γήτεια] εἶδος λαχάνου ἀγρίου, παρεοικὸς τοῖς λευκοῖς πράσοις. καὶ τοῦτο ἥδυσμα ὡς τὸ ἀμπελόπρασον. Ἐδίδουν ἡδύσματα.] ἀρτύματα φησὶν αὐτοῖς ἐχαριζόμην οἰκείως δὲ ὡς μάγειρος ἐδίδουν τὰ ἀρτύματα. Ὑπερεπῄνουν.] γράφεται καὶ ὑπερεπλήσσοντό με καὶ τὴν φιλοτιμίαν ἐθαύμαζον τὴν ἐμήν. διασύρει δὲ αὐτοὺς ὡς μικροθαυμάστους καὶ ταχέως ἀπατωμένους ὀλίγῳ λήμματι. Ὑπερεπόππαζον.] πύππαξ ἐπεφώνουν, ὃ ἡμεῖς ποππύζειν λέγομεν. Ἀναλαβών.] συναρπάσας. κουφίσας. μετεωρίσας. τουτέστιν εἰς ἐμαυτὸν τῇ εὐνοίᾳ πείσας ῥέπειν. ἱκανῶς ἐκωμῴδησε τοὺς Ἀθηναίους.